Ακαδημία Αθηνών / Academy of Athens

φθόνον καὶ ζῆλον καὶ δυσμενίην 276 *ὀ λ ί γ α δὲ τὰ εὐθηλέοντα.* || **ὀλίγον.** Ὀλίγο, a little, Ἐμπεδοκλῆς 98.4 *εἴτ' ὀ λ ί γ ο ν μείζων εἴτε πλεόνεσσιν (?) ἐλάσσων* Διογένης 6.9-32-37 *ἕτεραι δ' ὀ λ ί γ ο ν ἀνωτέρω διὰ τῶν στηθῶν ὑπὸ τὴν μασχάλην ... ἔστι δ' ἑτέρα φλὲψ ἐν τῷ τραχήλῳ παρὰ τὴν μεγάλην ἑκατέρωθεν, ἐλάττων ἐκείνης ὀ λ ί γ ο ν ... καὶ φαίνονται παρά τε τὴν σπληνῖτιν καὶ τὴν ἡπατῖτιν ἕτεραι ὀ λ ί γ ο ν ἐλάττους.* || **δι' ὀλίγου.** Σύντομα, briefly, Δημόκριτος 235.4 *τοῖσι πᾶσιν αἱ μὲν ἡδοναὶ βραχεῖαί τε καὶ δ ι' ὀ λ ί γ ο υ γίνονται, ὁκόσον ἂν χρόνον ἐσθίωσιν ἢ πίνωσιν, αἱ δὲ λῦπαι πολλαί.* Πρβλ. *ὀλιγοχρόνιος.*

**ὀλιγοχρόνιος.** Ὀλιγοχρόνιος, of short duration/brief, Δημόκριτος 285.2 *γινώσκειν χρεὼν ἀνθρωπίνην βιοτὴν ἀφαυρήν τε ἐοῦσαν καὶ ὀ λ ι γ ο χ ρ ό ν ι ο ν.*

**ὁλκάς.** Φορτηγὸ πλοῖο, transport ship, Φιλόλαος 12 *καὶ τὰ μὲν τᾶς σφαίρας σώματα πέντε ἐντί, τὰ ἐν τᾷ σφαίρᾳ πῦρ ⟨καὶ⟩ ὕδωρ καὶ γᾶ καὶ ἀήρ, καὶ ὁ τᾶς σφαίρας ὁ λ κ ά ς (?), πέμπτον.*

**ὁλκός.** Βλ. **ὁλκάς.**

**ὄλλυσθαι** (συνών. *ἀποθνήσκειν, ἀπόλλυσθαι, ἐξόλλυσθαι, ἐξαπόλλυσθαι, φθείρεσθαι, τελευτᾶν,* ἀντίθ. *γίγνεσθαι*) **1.** Καταστρέφομαι/ἀφανίζομαι, be destroyed/be ravaged, Παρμενίδης 8.14-40 *τοῦ εἵνεκεν οὔτε γενέσθαι οὔτ' ὄ λ λ υ σ θ α ι ἀνῆκε Δίκη χαλάσασα πέδῃσιν, ἀλλ' ἔχει ... γίγνεσθαί τε καὶ ὄ λ λ υ σ θ α ι, εἶναί τε καὶ οὐχὶ* **2.** Καταστρέφομαι/φθείρομαι, be destroyed/be ruined, Μέλισσος 7(2) *εἰ τοίνυν τριχὶ μιῇ μυρίοις ἔτεσιν ἑτεροῖον γίνοιτο, ὀ λ ε ῖ τ α ι πᾶν ἐν τῷ παντὶ χρόνῳ.*

**ὁλόκληρος 1.** Ὁλόκληρος, whole, Πυθαγόρειοι C 6 (DK I 465,23) *ἀπὸ ὁ λ ο κ λ ή ρ ο υ ἄρτου μὴ ἐσθίειν* **2.** Ὁλικός, total, Δημόκριτος 296 *γῆρας ὁ λ ό κ λ η ρ ό ς ἐστι πήρωσις· πάντ' ἔχει καὶ πᾶσιν ἐνδεῖ.*

**ὁλοοίτροχος.** Τρόχαλος/λίθινος ὅλμος, mortar of stone, Δημόκριτος 162 *ὁ λ ο ο ί τ ρ ο χ ο ν.*

**ὅλος** (τύπ. *οὖλος*) **1.** Ὅλος/ὁλόκληρος, whole/entire, Ἀναξιμένης 2 *οἷον ἡ ψυχὴ ... ἡ ἡμετέρα ἀὴρ οὖσα συγκρατεῖ ἡμᾶς,*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ακαδημία Αθηνών / Academy of Athens

*καὶ ὅ λ ο ν τὸν κόσμον πνεῦμα καὶ ἀὴρ περιέχει* Φιλόλαος 1 *ά φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων, καὶ ὅ λ ο ς ⟨ὁ⟩ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα* Δημόκριτος 204 *ἀνοήμονες οὐδέν' ἁνδάνουσιν (?)) ἐν ὅ λ ῃ τῇ βιοτῇ* **2.** Ὅλος μαζὶ/ ἑνιαῖος, all together/uniform, Ξενοφάνης 24 *ο ὖ λ ο ς ὁρᾷ, ο ὖ λ ο ς δὲ νοεῖ, ο ὖ λ ο ς δέ τ' ἀκούει* Παρμενίδης 8.38 *τό γε Μοῖρ' ἐπέδησεν ο ὖ λ ο ν ἀκίνητόν τ' ἔμεναι.* || **τὸ ὅλον.** Ἡ ὁλότης, totality, Ἐμπεδοκλῆς 2.6 *τ ὸ δ' ὅ λ ο ν ⟨πᾶς⟩ εὔχεται εὑρεῖν* **3.** Ὁλικός, total/whole, Ἡράκλειτος 10 *συνάψιες ὅ λ α καὶ οὐχ ὅ λ α, συμφερόμενον διαφερόμενον, συνᾷδον διᾷδον, καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα* Ἀρχύτας 1.3 *περὶ γὰρ τᾶς τῶν ὅ λ ω ν φύσιος καλῶς διαγνόντες ἔμελλον καὶ περὶ τῶν κατὰ μέρος, οἷά ἐντι, καλῶς ὀψεῖσθαι.*

**ὀλοφύρεσθαι.** Ὀλοφύρομαι/θρηνῶ, wail/lament, Δημόκριτος 107a *ἄξιον ἀνθρώπους ὄντας ἐπ' ἀνθρώπων συμφοραῖς μὴ γελᾶν, ἀλλ' ὀ λ ο φ ύ ρ ε σ θ α ι.*

**ὄλυμπος.** Ὄλυμπος/οὐράνιος θόλος, Olympus/celestial dome, Παρμενίδης 11.2 *πῶς γαῖα καὶ ἥλιος ἠδὲ σελήνη αἰθήρ τε ξυνὸς γάλα τ' οὐράνιον καὶ ὄ λ υ μ π ο ς ἔσχατος ἠδ' ἄστρων θερμὸν μένος ὡρμήθησαν γίγνεσθαι* Ἐμπεδοκλῆς 44 *ἀνταυγεῖ πρὸς Ὄ λ υ μ π ο ν ἀταρβήτοισι προσώποις* Φιλόλαος Α 16 (DK I 403,21) τὸ μὲν οὖν ἀνωτάτω μέρος τοῦ περιέχοντος, ἐν ᾧ τὴν εἰλικρίνειαν εἶναι τῶν στοιχείων, *ὄ λ υ μ π ο ν καλεῖ*, τὰ δὲ ὑπὸ τὴν τοῦ *ὀ λ ύ μ π ο υ* φοράν, ἐν ᾧ τοὺς πέντε πλανήτας μεθ' ἡλίου καὶ σελήνης τετάχθαι, *κόσμον*.

**ὄμβριος.** Βρόχινος, rainy, Ξενοφάνης 30.4 *ὄ μ β ρ ι ο ν ὕδωρ.*

**ὄμβρος 1** (συνών. *ὑετός*). Βροχή, rain, Ἐμπεδοκλῆς 21.5 *ὄ μ β ρ ο ν δ' ἐν πᾶσι δνοφόεντά τε ῥιγαλέον τε* 50 *Ἶρις δ' ἐκ πελάγους ἄνεμον φέρει ἢ μέγαν ὄμβρον* 111.6 *θήσεις δ' ἐξ ὄ μ β ρ ο ι ο κελαινοῦ καίριον αὐχμὸν ἀνθρώποις, θήσεις δὲ καὶ ἐξ αὐχμοῖο θερείου ῥεύματα δενδρεόθρεπτα, τά τ' αἰθέρι ναιήσονται (?)* Ἀναξαγόρας 19 *Ἶριν δὲ καλέομεν τὸ ἐν τῇσιν νεφέλῃσιν ἀντιλάμπον τῷ ἡλίῳ. χειμῶνος οὖν ἐστι σύμβολον· τὸ γὰρ περιχεόμε-*